



**Muerte de Darío. Artajerjes sube al trono. Ciro es calumniado.**

Ἐπεὶ δὲ ἐτελεύτησε Δαρεῖος καὶ κατέστη εἰς τὴν βασιλείαν Ἀρταξέρχης, Τισσαφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφὸν **ὡς** ἐπιβουλεύοι αὐτῷ. Ὁ δὲ πείθεται καὶ συλλαμβάνει Κῦρον **ὡς** ἀποκτενῶν· ἡ δὲ μήτηρ ἐξαιτησαμένη αὐτὸν ἀποπέμπει πάλιν ἐπὶ τὴν **ἀρχήν**. Ὁ δ' **ὡς** ἀπῆλθε κινδυνεύσας καὶ ἀτιμασθείς, βουλεύεται ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ, ἀλλά, **ἤν** δύνηται, βασιλεύσει ἀντ' ἐκείνου. Παρύσατις μὲν δὴ ἡ μήτηρ ὑπῆρχε τῷ Κύρῳ, φιλοῦσα αὐτὸν μᾶλλον ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην.

## NOTAS

ὡς..... ἐπιβουλεύοι conjunción causal subjetiva = *porque, en la idea de que*

ὡς..... ἀποκτενῶν conjunción final

ἀρχή, -ῆς ἡ *provincia*

ὡς..... ἀπῆλθε conjunción temporal

ἤν conjunción condicional subjetiva = *en el caso de que* = ἐάν